ὕδωρ· καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. Καὶ ἀνεπλη- 25
ρώθησαν ἑπτὰ ἡμέραι, μετὰ τὸ πατάξαι κύριον τὸν ποταμόν.

## CAP. VIII.

*Ranæ, pediculi & noxia volatilia.*

Εἶπε δὲ κύριος πρὸς Μωυσῆν, Εἴσελθε πρὸς Φαραὼ, καὶ ἐρεῖς 1
πρὸς αὐτὸν, Τάδε λέγει κύριος· Ἐξαπόστειλον τὸν λαόν μου,
ἵνα μοι λατρεύσωσιν. Εἰ δὲ μὴ βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ, ἐγὼ 2
τύπτω πάντα τὰ ὅριά σου τοῖς βατράχοις· Καὶ ἐξερεύξεται ὁ 3
ποταμὸς βατράχους· καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς οἴκους
σου, καὶ εἰς τὰ ταμιεῖα τῶν κοιτώνων σου, καὶ ἐπὶ τῶν κλινῶν σου, καὶ
ἐπὶ τοὺς οἴκους τῶν θεραπόντων σου, καὶ τοῦ λαοῦ σου, καὶ ἐν τοῖς φυ-
ράμασί σου, * καὶ ἐν τοῖς κλιβάνοις σου. Καὶ ἐπὶ σὲ, καὶ ἐπὶ τοὺς 4
θεράποντάς σου, καὶ ἐπὶ τὸν λαόν σου, ἀναβήσονται οἱ βάτραχοι.
Εἶπε δὲ κύριος πρὸς Μωυσῆν, Εἶπον Ἀαρὼν τῷ ἀδελφῷ σου, ἔκτει- 5
νον τῇ χειρὶ τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς, καὶ ἐπὶ τὰς διώρυ-
γας, καὶ ἐπὶ τὰ ἕλη, καὶ ἀνάγαγε τοὺς βατράχους. Καὶ ἐξέτει- 6
νεν Ἀαρὼν τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου, καὶ ἀνήγαγε τοὺς
βατράχους· καὶ ἀνεβιβάσθη ὁ βάτραχος, καὶ ἐκάλυψε τὴν γῆν Αἰ-
γύπτου. Ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς 7
* φαρμακείαις αὐτῶν, καὶ ἀνήγαγον τοὺς βατράχους ἐπὶ γῆν Αἰ-
γύπτου. Καὶ ἐκάλεσε Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν, καὶ εἶπεν, 8
Εὔξασθε περὶ ἐμοῦ πρὸς κύριον, καὶ περιελέτω τοὺς βατράχους ἀπ'
ἐμοῦ, καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ· καὶ ἐξαποστελῶ αὐτοὺς, καὶ θύσουσι
τῷ κυρίῳ. Εἶπε δὲ Μωυσῆς πρὸς Φαραὼ, Τάξαι πρός με πότε 9
εὔξομαι περὶ σοῦ, καὶ περὶ τῶν θεραπόντων σου, καὶ τοῦ λαοῦ σου, ἀφανίσαι
τοὺς βατράχους ἀπὸ σοῦ, καὶ ἀπὸ τοῦ λαοῦ σου, καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν,
πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται. Ὁ δὲ εἶπεν, Εἰς αὔριον. 10
εἶπεν οὖν, Ὡς εἴρηκας· ἵνα εἰδῇς, ὅτι οὐκ ἔστιν ἄλλος πλὴν κυρίου.
Καὶ περιαιρεθήσονται οἱ βάτραχοι ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν οἰκιῶν 11
ὑμῶν, καὶ ἀπὸ τῶν ἐπαύλεων, καὶ ἀπὸ τῶν θεραπόντων σου, καὶ
ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται. Ἐξῆλθε 12
Μωυσῆς καὶ Ἀαρὼν ἀπὸ Φαραώ· καὶ ἐβόησε Μωυσῆς πρὸς
περὶ τοῦ ὁρισμοῦ τῶν βατράχων, ὡς ἐτάξατο Φαραώ· Ἐ- 13
ποίησε δὲ κύριος καθάπερ εἶπε Μωυσῆς· καὶ ἐτελεύτησαν οἱ βά-
τραχοι ἐκ τῶν οἰκιῶν, καὶ ἐκ τῶν ἐπαύλεων, καὶ ἐκ τῶν ἀγρῶν.
Καὶ συνήγαγον αὐτοὺς θημωνίας θημωνίας· καὶ ὤζεσεν ἡ γῆ. 14
Ἰδὼν δὲ Φαραὼ, ὅτι γέγονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, 15
καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησε κύριος. Εἶπε δὲ κύριος 16
πρὸς Μωυσῆν, Εἶπον Ἀαρὼν, Ἔκτεινον τῇ χειρὶ τὴν ῥάβδον σου, καὶ

v. 3. καὶ ἐν τοῖς φρέασίν σου add. v. 7. ἐπαοιδαῖς.

πάταξον τὸ χῶμα τῆς γῆς· καὶ ἔσονται σκνίφες ἔν τε τοῖς ἀνθρώποις
17 καὶ ἐν τοῖς τετράποσι, καὶ ἐν πάσῃ γῇ Αἰγύπτου. Ἐξέτεινεν οὖν Ἀα-
ρὼν τῇ χειρὶ τὴν ῥάβδον, καὶ ἐπάταξε τὸ χῶμα τῆς γῆς· καὶ ἐγένοντο
οἱ σκνίφες ἐν τοῖς ἀνθρώποις, ἔν τε τοῖς τετράποσι, καὶ ἐν παντὶ χώ-
18 ματι τῆς γῆς ἐγένοντο οἱ σκνίφες. Ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ
ἐπαοιδοὶ ταῖς φαρμακείαις αὐτῶν, ἐξαγαγεῖν τὸν σκνίφα· καὶ
οὐκ ἠδύναντο. Καὶ ἐγένοντο οἱ σκνίφες ἔν τε τοῖς ἀνθρώποις, καὶ ἐν
19 τοῖς τετράποσιν. Εἶπαν οὖν οἱ ἐπαοιδοὶ τῷ Φαραῷ, Δάκτυλος
Θεοῦ ἐστι τοῦτο· καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκου-
20 σεν αὐτῶν, καθάπερ ἐλάλησε κύριος. Εἶπε δὲ κύριος πρὸς Μωυ-
σῆν, Ὄρθρισον τὸ πρωΐ, καὶ στῆθι ἐναντίον Φαραώ· καὶ ἰδού, αὐτὸς
ἐξελεύσεται ἐπὶ τὸ ὕδωρ, καὶ ἐρεῖς πρὸς αὐτόν, Τάδε λέγει κύριος·
Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσωσιν ἐν τῇ ἐρήμῳ.
21 Ἐὰν δὲ μὴ βούλει ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδού, ἐγὼ ἐξαποστέλλω
ἐπὶ σέ, καὶ ἐπὶ τοὺς θεράποντάς σου, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ
τοὺς οἴκους ὑμῶν κυνόμυιαν· καὶ πλησθήσονται αἱ οἰκίαι τῶν Αἰ-
γυπτίων τῆς κυνομυίης, καὶ εἰς τὴν γῆν ἐφ' ἧς εἰσιν ἐπ' αὐτῆς.
22 Καὶ παραδοξάσω ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν γῆν Γεσέμ, ἐφ' ἧς ὁ λαός
μου ἔπεστιν ἐπ' αὐτῆς, ἐφ' ἧς οὐκ ἔσται ἐκεῖ ἡ κυνόμυια. ἵνα εἰδῇς,
23 ὅτι ἐγώ εἰμι κύριος ὁ Θεὸς πάσης τῆς γῆς. Καὶ δώσω διαστολὴν
ἀνὰ μέσον τοῦ ἐμοῦ λαοῦ, καὶ ἀνὰ μέσον τοῦ σοῦ λαοῦ. ἐν δὲ τῇ αὔριον
24 ἔσται * τοῦτο ἐπὶ τῆς γῆς. Ἐποίησε δὲ κύριος οὕτως· καὶ παρε-
γένετο ἡ κυνόμυια πλῆθος εἰς τοὺς οἴκους Φαραώ, καὶ εἰς τοὺς οἴκους
τῶν θεραπόντων αὐτοῦ, καὶ εἰς πᾶσαν τὴν γῆν Αἰγύπτου· καὶ ἐξω-
25 λοθρεύθη ἡ γῆ ἀπὸ τῆς κυνομυίης. Ἐκάλεσε δὲ Φαραὼ Μωυ-
σῆν καὶ Ἀαρών, λέγων, Ἐλθόντες θύσατε κυρίῳ τῷ Θεῷ ὑμῶν ἐν
26 τῇ γῇ. Καὶ εἶπε Μωυσῆς, Οὐ δυνατὸν γενέσθαι οὕτως· τὰ γὰρ
βδελύγματα τῶν Αἰγυπτίων θύσομεν κυρίῳ τῷ Θεῷ ἡμῶν. ἐὰν
γὰρ θύσωμεν τὰ βδελύγματα τῶν Αἰγυπτίων ἐναντίον αὐτῶν,
27 λιθοβοληθησόμεθα. Ὁδὸν τριῶν ἡμερῶν πορευσόμεθα εἰς τὴν
ἔρημον· καὶ θύσομεν τῷ Θεῷ ἡμῶν, καθάπερ εἶπε κύριος ἡμῖν.
28 Καὶ εἶπε Φαραώ, Ἐγὼ ἀποστέλλω ὑμᾶς, καὶ θύσατε τῷ Θεῷ ὑμῶν
ἐν τῇ ἐρήμῳ· ἀλλ' οὐ μακρὰν ἀποτενεῖτε πορευθῆναι. εὔξασθε οὖν
29 περὶ ἐμοῦ πρὸς κύριον. Εἶπε δὲ Μωυσῆς, Ὅδε ἐγὼ ἐξελεύσομαι
ἀπὸ σοῦ, καὶ εὔξομαι πρὸς τὸν Θεόν, καὶ ἀπελεύσεται ἡ κυνόμυια
*καὶ ἀπὸ τῶν θεραπόντων σου, καὶ ἀπὸ τοῦ λαοῦ σου αὔριον. μὴ προσ-
θῇς ἔτι Φαραὼ ἐξαπατῆσαι, τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαὸν θῦσαι
30 κυρίῳ. Ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραώ, καὶ ηὔξατο πρὸς τὸν
31 Θεόν. Ἐποίησε δὲ κύριος καθάπερ εἶπε Μωυσῆς· καὶ περιεῖλε

v. 23. τὸ σημεῖον add. v. 29. ἀπὸ σοῦ add.





τὴν κυνόμυιαν ἀπὸ Φαραώ, καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ τοῦ λαοῦ
αὐτοῦ, καὶ οὐ κατελείφθη οὐδεμία. Καὶ ἐβάρυνε Φαραὼ τὴν καρ- 32
δίαν αὐτοῦ καὶ ἐπὶ τοῦ καιροῦ τούτου, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι
τὸν λαόν.

## CAP. IX.

*Pestis, ulcera, grando.*

Εἶπε δὲ κύριος πρὸς Μωυσῆν, Εἴσελθε πρὸς Φαραώ, καὶ ἐρεῖς 1
αὐτῷ, Τάδε λέγει κύριος ὁ Θεὸς τῶν Ἑβραίων· ἐξαπόστει-
λον τὸν λαόν μου, ἵνα μοι λατρεύσωσιν. Εἰ μὲν οὖν μὴ βούλει ἐξα- 2
ποστεῖλαι τὸν λαόν μου, ἀλλὰ ἔτι ἐγκρατεῖς αὐτοῦ, Ἰδού, χεὶρ κυρίου 3
ἐπέσται ἐν τοῖς κτήνεσί σου τοῖς ἐν τοῖς πεδίοις· ἔν τε τοῖς ἵπποις, καὶ
ἐν τοῖς ὑποζυγίοις, καὶ ταῖς καμήλοις, καὶ βουσί, καὶ προβάτοις,
θάνατος μέγας σφόδρα. Καὶ παραδοξάσω ἐγὼ ἐν τῷ καιρῷ ἐκεί- 4
νῳ ἀνὰ μέσον τῶν κτηνῶν τῶν Αἰγυπτίων, καὶ ἀνὰ μέσον τῶν κτηνῶν
τῶν υἱῶν Ἰσραήλ· οὐ τελευτήσει ἀπὸ πάντων τῶν τοῦ Ἰσραὴλ υἱῶν
ῥητόν. Καὶ ἔδωκεν ὁ Θεὸς ὅρον, λέγων, Ἐν τῇ αὔριον ποιήσει 5
κύριος τὸ ῥῆμα τοῦτο ἐπὶ τῆς γῆς. Καὶ ἐποίησε κύριος τὸ ῥῆμα 6
τοῦτο τῇ ἐπαύριον· καὶ ἐτελεύτησε πάντα τὰ κτήνη τῶν Αἰγυ-
πτίων· ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν Ἰσραὴλ οὐκ ἐτελεύτησεν οὐδέν.
Ἰδὼν δὲ Φαραώ, ὅτι οὐκ ἐτελεύτησεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν 7
υἱῶν Ἰσραὴλ οὐδέν, ἐβαρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ ἐξαπέστει-
λε τὸν λαόν. Εἶπε δὲ κύριος πρὸς Μωυσῆν καὶ Ἀαρών, λέγων, 8
Λάβετε ὑμεῖς πλήρεις τὰς χεῖρας αἰθάλης καμιναίας, καὶ πα-
σάτω Μωυσῆς εἰς τὸν οὐρανὸν ἐναντίον Φαραώ, καὶ ἐναντίον τῶν
θεραπόντων αὐτοῦ. Καὶ γενηθήτω κονιορτὸς ἐπὶ πᾶσαν τὴν γῆν 9
Αἰγύπτου. καὶ ἔσται ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ τετράποδα ἕλ-
κη φλυκτίδες ἀναζέουσαι ἔν τε τοῖς ἀνθρώποις, καὶ ἐν τοῖς τετρά-
ποσιν, ἐν πάσῃ γῇ Αἰγύπτου. Καὶ ἔλαβε τὴν αἰθάλην τῆς κα- 10
μιναίας ἐναντίον Φαραώ, καὶ ἔπασεν αὐτὴν Μωυσῆς εἰς τὸν οὐρα-
νόν· καὶ ἐγένετο ἕλκη φλυκτίδες ἀναζέουσαι ἔν τε τοῖς ἀνθρώ-
ποις, καὶ ἐν τοῖς τετράποσι. Καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆ- 11
ναι ἐναντίον Μωυσῆ διὰ τὰ ἕλκη· ἐγένετο γὰρ τὰ ἕλκη ἐν τοῖς
φαρμακοῖς, καὶ ἐν πάσῃ γῇ Αἰγύπτου. Ἐσκλήρυνε δὲ κύριος 12
τὴν καρδίαν Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθὰ συνέταξε
κύριος. Εἶπε δὲ κύριος πρὸς Μωυσῆν, Ὄρθρισον τὸ πρωΐ, καὶ 13
στῆθι ἐναντίον Φαραώ, καὶ ἐρεῖς πρὸς αὐτόν, Τάδε λέγει κύριος ὁ
Θεὸς τῶν Ἑβραίων· Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί
μοι. Ἐν τῷ γὰρ νῦν καιρῷ ἐγὼ ἐξαποστέλλω πάντα τὰ συναν- 14
τήματά μου εἰς τὴν καρδίαν σου, καὶ τῶν θεραπόντων σου, καὶ τοῦ
λαοῦ σου· ἵνα εἰδῇς, ὅτι οὐκ ἔστιν, ὡς ἐγώ, ἄλλος ἐν πάσῃ τῇ γῇ.

## CAP. IV.

*Dies Messiæ impiis terribilis, piis salutaris.*

1 Διότι ἰδοὺ, ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ φλέ-
ξει αὐτοὺς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς, καὶ πάντες
οἱ ποιοῦντες ἄνομα, καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρ-
χομένη, λέγει κύριος παντοκράτωρ, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ
2 αὐτῶν ῥίζα οὐδὲ κλῆμα. Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις
τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν
αὐτοῦ· καὶ ἐξελεύσεσθε, καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν
3 ἀνειμένα. Καὶ καταπατήσετε ἀνόμους, διότι ἔσονται σποδὸς
ὑποκάτω τῶν ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ, ᾗ ἐγὼ ποιῶ, λέγει
[5 κύριος παντοκράτωρ. Καὶ ἰδοὺ, ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν
τὸν Θεσβίτην, πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ
6 ἐπιφανῆ, Ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ
καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἔλθω καὶ πατάξω
[4 τὴν γῆν ἄρδην. Μνήσθητε νόμου Μωυσῆ τοῦ δούλου μου, καθότι
ἐνετειλάμην αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσρα-
ὴλ, προστάγματα καὶ δικαιώματα.

### Emendanda.

p. 148. lin. 3. legatur τό. p. 205. lin. 2. leg. φαγαῖηλ. p. 208. lin. 19. leg. -μένοι. p. 213. lin. 22. τὰς. p. 365. in notis l. 3. leg. ὠσὶν. p. 405. in notis l. 2. leg. παράδοτε. l. 4. leg. ἐβόησεν. p. 410. in not. l. 2. leg ἴδομεν. p. 495. lin. 10. leg. τείχους. p. 686. in not. ἔτι. p. 800. l. 2. post μου deleatur colon. p. 895. in notis leg. λαγωοῖς. p. 1100. l. 1. leg. βασιλέως. p. 1158. l. 8. leg. σωθήσονται.

# ΒΙΒΛΟΙ ΑΠΟΚΡΥΦΟΙ

SIVE

## LIBRI INCERTÆ ORIGINIS ET AUCTORITATIS HUMANÆ

## CANONICIS V. T. SCRIPTIS

COMMUNITER JUNCTI

QVOS

EX CODICE VATICANO ALIQVOTIES EDITOS

DENUO

AD OPTIMAS QVASQVE EDITIONES

RECENSVIT

M. CHRISTIANUS REINECCIUS

S. S. THEOL. BACC. CONSILIARIUS SAXO-WEISSENFELS. ILL. AUGUSTEI RECTOR ET P. P.

LIPSIÆ

EX OFFICINA BREITKOPFIANA

M DCC XXX.

50 λήμ. Καὶ ἀπέστειλεν ὁ Θεὸς τῶν πατέρων αὐτῶν διὰ τοῦ ἀγγέλου
αὐτοῦ μετακαλέσαι αὐτοὺς, καθότι ἐφείδετο αὐτῶν καὶ τοῦ σκη-
51 νώματος αὐτοῦ. Αὐτοὶ δὲ ἐμυκτήρισαν ἐν τοῖς ἀγγέλοις αὐτοῦ·
καὶ ᾗ ἡμέρᾳ ἐλάλησε κύριος, ἦσαν ἐκπαίζοντες τοὺς προφήτας
52 αὐτοῦ, Ἕως οὗ θυμωθέντα αὐτὸν ἐπὶ τῷ ἔθνει αὐτοῦ διὰ τὰ δυσσε-
βήματα, προστάξαι ἀναβιβάσαι ἐπ' αὐτοὺς τοὺς βασιλεῖς τῶν Χαλ-
53 δαίων. Οὗτοι ἀπέκτειναν τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ, πε-
ρικύκλῳ τοῦ ἁγίου αὐτῶν ἱεροῦ. καὶ οὐκ ἐφείσαντο νεανίσκου καὶ παρ-
θένου, καὶ πρεσβύτου καὶ νεωτέρου, ἀλλὰ πάντας παρέδωκαν εἰς
54 τὰς χεῖρας αὐτῶν. Καὶ πάντα τὰ ἱερὰ σκεύη τοῦ κυρίου τὰ με-
γάλα καὶ τὰ μικρὰ, καὶ τὰς κιβωτοὺς τοῦ κυρίου, καὶ τὰς βασι-
55 λικὰς ἀποθήκας ἀναλαβόντες ἀπήνεγκαν εἰς Βαβυλῶνα. Καὶ
ἐνεπύρισαν τὸν οἶκον τοῦ κυρίου, καὶ ἔλυσαν τὰ τείχη Ἱερουσαλὴμ,
56 καὶ τοὺς πύργους αὐτῆς ἐνεπύρισαν ἐν πυρὶ, Καὶ συνετέλεσαν
πάντα τὰ ἔνδοξα αὐτῆς ἀχρειῶσαι, καὶ τοὺς ἐπιλοίπους ἀπήγαγε
57 μετὰ ῥομφαίας εἰς Βαβυλῶνα. Καὶ ἦσαν παῖδες αὐτῷ καὶ τοῖς
υἱοῖς αὐτοῦ, μέχρις οὗ βασιλεῦσαι Πέρσας, εἰς ἀναπλήρωσιν ῥή-
58 ματος τοῦ κυρίου ἐν στόματι Ἱερεμίου· Ἕως τοῦ εὐδοκῆσαι τὴν γῆν
τὰ σάββατα αὐτῆς, πάντα τὸν χρόνον τῆς ἐρημώσεως αὐτῆς
σαββατιεῖ εἰς συμπλήρωσιν ἐτῶν ἑβδομήκοντα.

## CAP. II.

*Restauratio Templi, quæ impeditur.*

1 Βασιλεύοντος Κύρου Περσῶν ἔτους πρώτου, εἰς συντέλειαν ῥήμα-
2 τος κυρίου ἐν στόματι Ἱερεμίου, Ἤγειρε κύριος τὸ πνεῦμα Κύ-
ρου βασιλέως Περσῶν, καὶ ἐκήρυξεν ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ, καὶ
3 ἅμα διὰ γραπτῶν, Λέγων, Τάδε λέγει ὁ βασιλεὺς Περσῶν
Κύρος, Ἐμὲ ἀνέδειξε βασιλέα τῆς οἰκουμένης ὁ κύριος τοῦ Ἰσραὴλ,
4 κύριος ὁ ὕψιστος. Καὶ ἐσήμηνέ μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν
5 Ἱερουσαλὴμ, τῇ ἐν τῇ Ἰουδαίᾳ. Εἴ τις ἐστὶν οὖν ὑμῶν ἐκ τοῦ ἔθνους
αὐτοῦ, ἔστω ὁ κύριος αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβὰς εἰς τὴν Ἱερουσα-
λὴμ τὴν ἐν τῇ Ἰουδαίᾳ, οἰκοδομείτω τὸν οἶκον τοῦ κυρίου τοῦ Ἰσρα-
6 ήλ. οὗτος ὁ κύριος, ὁ κατασκηνώσας ἐν Ἱερουσαλήμ. Ὅσοι οὖν
κατὰ τοὺς τόπους οἰκοῦσι, βοηθείτωσαν αὐτῷ οἱ ἐν τῷ τόπῳ αὐτοῦ,
7 ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ, Ἐν δόσεσι, μεθ' ἵππων καὶ κτηνῶν,
σὺν τοῖς ἄλλοις τοῖς κατ' εὐχὰς προστεθειμένοις εἰς τὸ ἱερὸν τοῦ κυ-
8 ρίου τὸ ἐν Ἱερουσαλήμ. Καὶ καταστήσαντες οἱ ἀρχίφυλοι τῶν
πατριῶν τῆς Ἰούδα καὶ Βενιαμὶν φυλῆς, καὶ οἱ ἱερεῖς καὶ οἱ Λευΐ-
ται, καὶ πάντων ὧν ἤγειρε κύριος τὸ πνεῦμα, ἀναβῆναι οἰκοδο-
9 μῆσαι οἶκον τῷ κυρίῳ τὸν ἐν Ἱερουσαλήμ· Καὶ οἱ περικύκλῳ
αὐτῶν ἐβοήθησαν ἐν πᾶσιν, ἐν ἀργυρίῳ καὶ χρυσίῳ, ἵπποις, κτή-
νεσι,



νεσι, καὶ εὐχαῖς ὡς πλείσταις πολλῶν, ὧν ὁ νοῦς ἠγέρθη. Καὶ ὁ 10
βασιλεὺς Κύρος ἐξήνεγκε τὰ ἱερὰ σκεύη τοῦ κυρίου, ἃ μετήνεγκε
Ναβουχοδονόσορ ἐξ Ἱερουσαλὴμ, καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ εἰδω-
λείῳ αὐτοῦ. Ἐξενέγκας δὲ αὐτὰ Κύρος ὁ βασιλεὺς Περσῶν παρ- 11
έδωκεν αὐτὰ Μιθραδάτῃ τῷ ἑαυτοῦ γαζοφύλακι. Διὰ δὲ τούτου 12
παρεδόθησαν * Σαμανασσάρῳ προστάτῃ τῆς Ἰουδαίας. Ὁ δὲ 13
τούτων ἀριθμὸς ἦν, σπονδεῖα χρυσᾶ χίλια, σπονδεῖα ἀργυρᾶ χί-
λια, θυΐσκαι ἀργυραῖ εἰκοσιεννέα, φιάλαι χρυσαῖ τριάκοντα,
ἀργυραῖ δισχίλιαι τετρακόσιαι δέκα, καὶ ἄλλα σκεύη χίλια.
Τὰ δὲ πάντα σκεύη ἐκομίσθη χρυσᾶ καὶ ἀργυρᾶ πεντακισχίλια 14
τετρακόσια ἑξηκονταεννέα. Ἀνηνέχθη δὲ ὑπὸ * Σαμανασσάρου 15
ἅμα τοῖς ἐκ τῆς αἰχμαλωσίας ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ·
Ἐν δὲ τοῖς ἐπὶ Ἀρταξέρξου τῶν Περσῶν βασιλέως χρόνοις κατέ- 16
γραψαν αὐτῷ κατὰ τῶν κατοικούντων ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσα-
λὴμ, Βήλεμος, καὶ Μιθραδάτης, καὶ Ταβέλλιος, καὶ Ῥάθυ-
μος, καὶ Βεέλτεθμος, καὶ Σαμέλλιος ὁ γραμματεὺς, καὶ οἱ
λοιποὶ οἱ τούτοις συντασσόμενοι, οἰκοῦντες δὲ ἐν Σαμαρείᾳ καὶ
τοῖς ἄλλοις τόποις, τὴν ὑπογεγραμμένην ἐπιστολήν. Βασιλεῖ 17
Ἀρταξέρξῃ κυρίῳ οἱ παῖδές σου, Ῥάθυμος ὁ τὰ προσπίπτοντα,
καὶ Σαμέλλιος ὁ γραμματεὺς, καὶ οἱ ἐπίλοιποι τῆς βουλῆς αὐ-
τῶν, καὶ κριταὶ οἱ ἐν κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ. Καὶ νῦν γνωστὸν 18
ἔστω τῷ κυρίῳ βασιλεῖ, ὅτι οἱ Ἰουδαῖοι ἀναβάντες παρ' ὑμῶν πρὸς
ἡμᾶς ἐλθόντες εἰς Ἱερουσαλὴμ, τὴν πόλιν τὴν ἀποστάτιν καὶ πο-
νηρὰν, οἰκοδομοῦσι τάς τε ἀγορὰς αὐτῆς, καὶ τὰ τείχη θερα-
πεύουσι, καὶ ναὸν ὑποβάλλονται. Ἐὰν οὖν ἡ πόλις αὕτη οἰκοδο- 19
μηθῇ, καὶ τὰ τείχη συντελεσθῇ, φορολογίαν οὐ μὴ ὑπομείνωσι
δοῦναι, ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται. Καὶ ἐπεὶ ἐνεργεῖ- 20
ται τὰ κατὰ τὸν ναὸν, καλῶς ἔχειν ὑπολαμβάνομεν μὴ ὑπεριδεῖν
τὸ τοιοῦτο, Ἀλλὰ προσφωνῆσαι τῷ κυρίῳ βασιλεῖ, ὅπως, ἂν 21
φαίνηταί σοι, ἐπισκεφθῇ ἐν τοῖς ἀπὸ τῶν πατέρων σου βιβλίοις.
Καὶ εὑρήσεις ἐν τοῖς ὑπομνηματισμοῖς γεγραμμένα περὶ τούτων, 22
καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη ἦν ἀποστάτις, καὶ βασιλεῖς καὶ πό-
λεις ἐνοχλοῦσα, Καὶ οἱ Ἰουδαῖοι ἀποστάται καὶ πολιορκίας συνι- 23
στάμενοι ἐν αὐτῇ ἔτι ἐξ αἰῶνος, δι' ἣν αἰτίαν καὶ ἡ πόλις αὕτη
ἠρημώθη. Νῦν οὖν ὑποδεικνύομέν σοι κύριε βασιλεῦ, ὅτι ἐὰν ἡ 24
πόλις αὕτη οἰκοδομηθῇ, καὶ τὰ ταύτης τείχη ἀνασταθῇ, κάθο-
δος οὐκ ἔτι σοι ἔσται εἰς κοίλην Συρίαν καὶ Φοινίκην. Τότε ἀντέ- 25
γραψεν ὁ βασιλεὺς Ῥαθύμῳ τῷ γράφοντι τὰ προσπίπτοντα, καὶ
Βεελτέθμῳ, καὶ Σαμελλίῳ γραμματεῖ, καὶ τοῖς λοιποῖς τοῖς

v. 12. Σαναβασσ. *Alex.* Ἀβασσ. Ald. v. 15. Σαναβασσ. *Alex.*

πους ἐπιάκειαν, μόγις τὸ ζῆν αὐτοῖς χαρισάμενοι, καὶ τὸν
ἐπουράνιον Θεὸν ἐγνωκότες ἀσφαλῶς ὑπερησπικότα τῶν Ἰου-
7 δαίων, ὡς πατέρα ὑπὲρ υἱῶν διαπαντὸς ὑπερμαχοῦντα, Τήν
τε τοῦ φίλου ἣν ἔχουσι πρὸς ἡμᾶς βεβαίαν καὶ τοὺς προγόνους
ἡμῶν εὔνοιαν ἀναλογισάμενοι, δικαίως ἀπολελύκαμεν πάσης
8 καθ' ὁντινοῦν αἰτίας τρόπον· Καὶ προστετάχαμεν ἑκάστῳ
πάντας εἰς τὰ ἴδια ἐπιστρέφειν, ἐν παντὶ τόπῳ μηθενὸς αὐτοὺς
τὸ σύνολον καταβλάπτοντος, μήτε ὀνειδίζειν περὶ τῶν γεγε-
9 νημένων παρὰ λόγον. Γινώσκετε γὰρ, ὅτι κατὰ τούτων ἐάν
τι κακοτεχνήσωμεν πονηρὸν, ἢ ἐπιλυπήσωμεν αὐτοὺς τὸ σύν-
ολον, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν πάσης δεσπόζοντα δυνάμεως
Θεὸν ὕψιστον ἀντικείμενον ἡμῖν ἐπ' ἐκδικήσει τῶν πραγμάτων
10 κατὰ πᾶν ἀφεύκτως διαπαντὸς ἕξομεν. ἔῤῥωσθε. Λαβόντες
δὲ τὴν ἐπιστολὴν ταύτην, οὐκ ἐσπούδασαν εὐθέως γενέσθαι περὶ
τὴν ἄφοδον, ἀλλὰ τὸν βασιλέα προσηξίωσαν τοὺς ἐκ τοῦ γένους
τῶν Ἰουδαίων τὸν ἅγιον Θεὸν αὐθαιρέτως παραβεβηκότας καὶ
τοῦ Θεοῦ τὸν νόμον, τυχεῖν δι' αὐτῶν τῆς ὀφειλομένης κολά-
11 σεως, Προφερόμενοι τοὺς γαστρὸς ἕνεκεν τὰ θεῖα παραβε-
βηκότας προστάγματα, μηδέποτε εὐνοήσειν μηδὲ τοῖς τοῦ βα-
12 σιλέως πράγμασιν. Ὁ δὲ τ' ἀληθὲς αὐτοὺς λέγειν παρα-
δεξάμενος καὶ συναινέσας, ἔδωκεν αὐτοῖς ἄδειαν πάντων, ὅπως
τοὺς παραβεβηκότας τοῦ Θεοῦ τὸν νόμον ἐξολοθρεύσωσι κατὰ
πάντα τὸν ὑπὸ τὴν βασιλείαν αὐτοῦ τόπον μετὰ παῤῥησίας
13 ἄνευ πάσης βασιλικῆς ἐξουσίας ἢ ἐπισκέψεως. Τότε κατ-
ευφημήσαντες αὐτὸν, ὡς πρέπον ἦν, οἱ τούτων ἱερεῖς, καὶ
πᾶν τὸ πλῆθος ἐπιφωνήσαντες τὸ ἀλληλούϊα, μετὰ χαρᾶς
14 ἀνέλυσαν. Τότε τὸν ἐμπεσόντα τῶν * μεμιασμένων ὁμοεθνῆ
κατὰ τὴν ὁδὸν ἐκολάζοντο, καὶ μετὰ παραδειγματισμῶν
15 ἀνῄρουν. Ἐκείνῃ δὲ τῇ ἡμέρᾳ ἀνεῖλον ὑπὲρ τοὺς τριακοσίους
ἄνδρας, καὶ ἤγαγον εὐφροσύνην μετὰ χαρᾶς τοὺς βεβήλους
16 χειρωσάμενοι. Αὐτοὶ δὲ οἱ μέχρι θανάτου τὸν Θεὸν ἐσχηκό-
τες, παντελῆ σωτηρίας ἀπόλαυσιν εἰληφότες, ἀνέζευξαν ἐκ
τῆς πόλεως παντοίοις εὐωδεστάτοις ἄνθεσι κατεστεμμένοι μετ'
εὐφροσύνης καὶ βοῆς, ἐν αἴνοις καὶ παμμελέσιν ὕμνοις εὐχα-
ριστοῦντες τῷ Θεῷ τῶν πατέρων αὐτῶν αἰωνίῳ σωτῆρι τοῦ Ἰσραήλ.
17 Παραγενηθέντες δὲ εἰς Πτολεμαΐδα τὴν ὀνομαζομένην διὰ τὴν
τοῦ τόπου ἰδιότητα ῥοδοφόρον, ἐν ᾗ προσέμεινεν αὐτοὺς ὁ στόλος
κατὰ

v. 14. μεμιαμμένων *Alex.*



κατὰ κοινὴν αὐτῶν βουλὴν ἡμέρας ἑπτὰ, Ἐκεῖ ἐποίησαν 18
πότον σωτήριον, τοῦ βασιλέως χορηγήσαντος αὐτοῖς εὐψύχως
τὰ πρὸς τὴν ἄφιξιν πάντα ἑκάστῳ ἕως εἰς τὴν ἰδίαν οἰκίαν.
Καταχθέντες δὲ μετ' εἰρήνης ἐν ταῖς πρεπούσαις ἐξομολογήσε- 19
σιν, ὡσαύτως κἀκεῖ ἔστησαν καὶ ταύτας ἄγειν τὰς ἡμέρας ἐπὶ
τὸν τῆς παροικίας αὐτῶν χρόνον εὐφροσύνους. Ἃς καὶ ἀνιε- 20
ρώσαντες ἐν στήλῃ κατὰ τὸν τῆς συμποσίας τόπον προσευχῆς
καθιδρύσαντες, ἀνέλυσαν ἀσινεῖς, ἐλεύθεροι, ὑπερχαρεῖς,
διά τε γῆς καὶ θαλάσσης καὶ ποταμοῦ ἀνασωζόμενοι τῇ τοῦ
βασιλέως ἐπιταγῇ, ἕκαστος εἰς τὴν ἰδίαν, Καὶ πλείστην ἢ 21
ἔμπροσθεν ἐν τοῖς ἐχθροῖς ἐξουσίαν ἐσχηκότες μετὰ δόξης καὶ
φόβου, τὸ σύνολον ὑπὸ μηδενὸς διασεισθέντες τῶν ὑπαρχόντων.
Καὶ πάντα τὰ ἑαυτῶν πάντες ἐκομίσαντο ἐξ ἀπογραφῆς, ὥστε 22
τοὺς ἔχοντάς τι, μετὰ φόβου μεγίστου ἀποδοῦναι αὐτοῖς, τὰ με-
γαλεῖα τοῦ μεγίστου Θεοῦ ποιήσαντος τελέως ἐπὶ σωτηρίᾳ αὐ-
τῶν. Εὐλογητὸς ὁ ῥύστης Ἰσραὴλ εἰς τοὺς ἀεὶ χρόνους. 23
ἀμήν.

# APPENDIX.

## Προσευχὴ Μαννασσῆ *Βασιλέως τῶν Ἰουδαίων.

Κύριε παντοκράτωρ, *ὁ Θεὸς τῶν πατέρων ἡμῶν τοῦ Ἀβραὰμ, 1
καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δι-
καίου. Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ 2
αὐτῶν. Ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός 3
σου, ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος *αὐτὴν τῷ φοβε-
ρῷ καὶ ἐνδόξῳ ὀνόματί σου. Ὃν πάντα *φρίσσει καὶ τρέμει ἀπὸ 4
προσώπου δυνάμεώς σου. Ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δό- 5
ξης σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου.
Ἀμέτρητον δὲ καὶ ἀνεξιχνίαστον τὸ *ἔλεος τῆς ἐπαγγελίας σου, 6
*σὺ γὰρ εἶ κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος, καὶ πολυέλεος,
καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων.* Σὺ κύριε κατὰ τὸ πλῆθος τῆς 7

* *Alex.* dest. v. 1. ἐπουράνιε ad. v. 3. d. v. 4. φρίττει. v. 6. ἔλαιον *ὅτι σὺ v. 7. integer deest.

χρη-

Νῦν δὲ δικαιοσύνης ὁσιώτατα τέθμια σώζων
    Ἀνδράσιν ἰθυδίκαις ου μετάνοιαν ἔθης
Ἰσακίδῃ, τούτου τε τοκῆϊ, τοκῆϊ τε τούτου
    Οἳ σὸν ἀλιτροσύναις οὐκ ἀάσαντο σέβας.
Αὐτὰρ ἐγὼ βασιλεὺς πρὶν ἐὼν, νῦν δείλιος ἀνὴρ,
    Τεθμὰ σὰ καῤῥήξας ἤλιτον, οἴ μοι ἐγώ!
Οἴ μοι ἐγὼ! πολιῆς ψάμαθον ψεκάδας τε θαλάσσης
    Μύσεά μου νικᾷ πληθύσιν, οἴ μοι ἐγώ!
Ἐν δὲ σιδηρέοις λελυγισμένος ἱμᾶσι κεῖμαι,
    Κυφαλέος στενάχων δριμὺν ἵημι γόον.
Οὐδέ τιν᾽ ἡσυχίην ἐν ἐμῷ τετιηότι θυμῷ,
    Οὐδέ τιν᾽ ἠρεμίην, οὐδ᾽ ἀνάπαυλαν ἔχω,
Τοὔνεχ᾽ ὅτ᾽ ἠγαθέην κατ᾽ ἐμοῦ σέθεν ἤγερον ὀργήν,
    Καὶ τόσον εἰργασάμην σοῦ κατενῶπα βλάβος,
Σκάνδαλα νωϊτέροισι τιθεὶς τοσσαῦτα πολίταις,
    Σκάνδαλ᾽ ὁμοῤῥοφίοις τηλεδαποῖς τε ξένοις.
Σκυθρὸς ἐμῆς κραδίης οὖν γούνατα, κοίρανε, κάμπτω
    Δῖαν ἐπικλείων ἀξιόων τε χάριν.
Ἤλιτον ἠλιθίως, πολλ᾽ ἤλιτον αἴσυλα ῥέξας,
    Ἀλλ᾽ ἐμὰ γνωρίζω μύσεα δεινὰ Θεός.
Προσλιπαρῶ· λιπαροῦντι λίην ἀλιτήματα λῦσον,
    Εἰς ἅλα βαστάζειν δὸς βορέῃσιν ἄγος.
Μηδ᾽ ἐν ἀλιτροσύνῃσιν ἐῶς ἐμὲ πάμπαν ὀλέσθαι,
    Μηδ᾽ ἐπ᾽ ἐμοῦ λυγρὴν σὴν τίσιν ἶφι μένειν.
Ἀλλά με, κἂν τελέθω πανανάξιος, αὖθις ὀφέλλειν
    Σὴν διὰ προφροσύνην οἰκτροσύνην τε θέλοις.
Καὶ τότε μηκεδανοῖσιν ἐγὼ σὺν ἐπ᾽ ἤμασι μέλψω
    Κῦδος, ἔθ᾽ ὑμνοτόκον σῷ τέο μέχρι βίον.
Σοὶ γὰρ ἐπουράνιος λιγυρὸν στρατὸς ὕμνον ὑφαίνει,
    Πάντα σοι ἀϊδίως δεῖ κλέος ἄνδρα δόμεν.

Δ. Θ.

AZ ORSZÁGOS ... RABBIKÉPZŐ INTÉZET KÖNYVTÁRA

Annak
Annak
Annak
Annak
Annak
Annak
Annak

nka
Nemzeti Kulturális Alap

WEISZ JAKAB

